Ακαδημία Αθηνών / Academy of Athens

# Χ

**χαίρειν** (ἀντίθ. *λυπεῖσθαι*). Χαίρω/εὐφραίνομαι, enjoy/rejoice, Ἡράκλειτος 13 *βορβόρῳ χαίρειν* Δημόκριτος 174 *ὁ μὲν εὔθυμος εἰς ἔργα ἐπιφερόμενος δίκαια καὶ νόμιμα καὶ ὕπαρ καὶ ὄναρ χαίρει τε καὶ ἔρρωται καὶ ἀνακηδής ἐστιν* 231 *εὐγνώμων ὁ μὴ λυπεόμενος ἐφ' οἷσιν οὐκ ἔχει, ἀλλὰ χαίρων ἐφ' οἷσιν ἔχει.* || **χαῖρε.** Χαῖρε, hail, Παρμενίδης 1.26 *ὦ κοῦρ' ἀθανάτοισι συνάορος ἡνιόχοισιν ... χαῖρ'* Ἐμπεδοκλῆς 112.4 *ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος ναίετ' ἀν' ἄκρα πόλεος, ἀγαθῶν μελεδήμονες ἔργων, ξείνων αἰδοῖοι λιμένες, κακότητος ἄπειροι, χαίρετ'.* Πρβλ. *εὐθυμεῖσθαι, εὐτυχεῖν, εὐδαιμονεῖν.*

**χαίτη.** Κόμη/χαίτη, hair, Ξενοφάνης 3.5 *χαίτησιν ἀγάλμενοι εὐπρεπέεσσιν* Ἐμπεδοκλῆς 83.2 *ὀξυβελεῖς χαῖται νώτοις ἐπιπεφρίκασι.*

**χαλαρός.** Χαλαρὸς/διεσταλμένος, loose/dilated, Ἀναξιμένης 1 *τὸ δ' ἀραιὸν καὶ τὸ χαλαρόν.*

**χαλεπὸς 1.** Δύσκολος/δυσεπίτευκτος, hard/difficult to achieve, Ἡράκλειτος 85 *θυμῷ μάχεσθαι χαλεπὸν* Δημόκριτος 228.4 *χαλεπὸν δὲ τυχεῖν ἑνὸς* 236 *θυμῷ μάχεσθαι μὲν χαλεπὸν* **2.** Βαρὺς/δυσβάστακτος, heavy/unbearable, Ἐμπεδοκλῆς 112.12 *δηρὸν δὴ χαλεπῇσι πεπαρμένοι ⟨ἀμφ' ὀδύνῃσιν⟩* 145.1 *τοιγάρτοι χαλεπῇσιν ἀλύοντες κακότησιν* Δημόκριτος 49 *χαλεπὸν ἄρχεσθαι ὑπὸ χερείονος* 79 *χαλεπὸν μιμεῖσθαι μὲν τοὺς κακούς, μηδὲ ἐθέλειν δὲ τοὺς ἀγαθοὺς* 90 *ἡ τῶν συγγενῶν ἔχθρη τῆς τῶν ὀθνείων χαλεπωτέρη μάλα* 219 *χρημάτων ὄρεξις ... πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη* 287 *ἀπορίη ξυνὴ τῆς ἑκάστου χαλεπωτέρη.*

**χαλκὸς 1.** Χαλκός, copper, Ἐμπεδοκλῆς 92 *ὥσπερ τῷ κατ-*